φοβερὸν ἀμφὶ τοὺς Ἀτρείδας πίτνει.
τί δρῶμεν; ἀγγέλλωμεν εἰς πόλιν τάδε;
ἢ σῖγ᾽ ἔχωμεν; ἀσφαλέστερον, φίλαι.
ἴδε πρὸ δωμάτων ἴδε προκηρύσσει
θοάζων ὅδ᾽ αἰθέρος ἄνω καπνός.
ἅπτουσι πεύκας, ὡς πυρώσοντες δόμους
τοὺς Τανταλείους, οὐδ᾽ ἀφίστανται φόνου.
τέλος ἔχει δαίμων βροτοῖς,
τέλος ὅπᾳ θέλει.
μεγάλα δέ τις ἁ δύναμις· δι᾽ ἀλάστορ᾽
ἔπεσ᾽ ἔπεσε μέλαθρα τάδε δι᾽ αἱμάτων
διὰ τὸ Μυρτίλου πέσημ᾽ ἐκ δίφρου.
ἀλλὰ μὴν καὶ τόνδε λεύσσω Μενέλεων δόμων πέλας
ὀξύπουν, ᾐσθημένον που τὴν τύχην ἣ νῦν πάρα.
οὐκέτ᾽ ἂν φθάνοιτε κλῇθρα συμπεραίνοντες μοχλοῖς,
ὦ κατὰ στέγας Ἀτρεῖδαι. δεινὸν εὐτυχῶν ἀνὴρ
πρὸς κακῶς πράσσοντας, ὡς σὺ νῦν, Ὀρέστα, δυστυχεῖς.
ΜΕ. ἥκω κλύων τὰ δεινὰ καὶ δραστήρια
δισσοῖν λεόντοιν· οὐ γὰρ ἄνδρ᾽ αὐτὼ καλῶ.
ἤκουσα γὰρ δὴ τὴν ἐμὴν ξυνάορον
ὡς οὐ τέθνηκεν, ἀλλ᾽ ἄφαντος οἴχεται,
κενὴν ἀκούσας βάξιν, ἣν φόβῳ σφαλεὶς
ἤγγειλέ μοί τις. ἀλλὰ τοῦ μητροκτόνου
τεχνάσματ᾽ ἐστὶ ταῦτα καὶ πολὺς γέλως.
ἀνοιγέτω τις δῶμα· προσπόλοις λέγω
ὠθεῖν πύλας τάσδ᾽, ὡς ἂν ἀλλὰ παῖδ᾽ ἐμὴν
ῥυσώμεθ᾽ ἀνδρῶν ἐκ χερῶν μιαιφόνων

---

1539—45. ΗΜΙΧ. *τί δρῶμεν — ἔχωμεν.* ΗΜΙΧ. *ἀσφαλέστερον, φίλαι.* ΗΜΙΧ. *ἴδε — καπνός.* ΗΜΙΧ. *ἅπτουσι — φόνου.* ΧΟ. *τέλος* — vel similiter libri. 1545. *βροτοῖς*] Seidlerus, *βροτοῖσι* libri. 1546. *θέλη* AB 1547. *ἀλάστορ* ] Seidlerus, *ἀλαστορων* libri. *ἔπεσεν ἔπεσε* AB *ἔπαισεν ἔπαισε* E *ἔπαισ᾽ ἔπαισε* F de ceteris non constat. 1549. *πέλας γρ. καὶ πέρα* A *πάρος* B *πέλας* ceteri. 1558. *καινήν* C 1561. *τις κλεῖθρα* B 1562. *ἀλλά* om. C